[illegible]

† Εὐκλείδου στοιχείων ἕκτον :-

Ὅμοια σχήματα εὐθύγραμμά ἐστιν. ὅσα τάς τε γωνίας ἴσας ἔχει κατὰ μίαν. καὶ τὰς περὶ τὰς ἴσας γωνίας πλευρὰς ἀνάλογον· Ἀντιπεπονθότα δὲ σχήματά ἐστιν. ὅταν ἐν ἑκατέρῳ τῶν σχημάτων ἡγούμενοί τε καὶ ἑπόμενοι ὅροι ὦσιν· Λόγος ἐκ λόγων συγκεῖσθαι λέγεται. ὅταν αἱ τῶν λόγων πηλικότητες ἐφ' ἑαυτὰς πολλαπλασιασθεῖσαι ποιῶσί τινα· Ἄκρον καὶ μέσον λόγον εὐθεῖα τετμῆσθαι λέγεται. ὅταν ᾖ ὡς ἡ ὅλη πρὸς τὸ μεῖζον τμῆμα. οὕτως τὸ μεῖζον πρὸς τὸ ἔλαττον· Ὕψος ἐστὶ παντὸς σχήματος ἡ ἀπὸ τῆς κορυφῆς ἐπὶ τὴν βάσιν κάθετος ἀγομένη :

πηλικότητες λέγονται ἀφ' οὗ παρωνομάσθησαν οἱ λόγοι· οἷον ὁ ἓξ τοῦ τέσσαρα ἡμιόλιος· ἡ δὲ πηλικότης αὐτοῦ· τουτέστιν ἀφ' οὗ παρωνομάσθη ὁ εἷς ἥμισυ· ἐπεὶ ἔχει ὁ ἓξ τὸν τέσσαρα καὶ τὸ ἥμισυ αὐτοῦ

α Τὰ τρίγωνα καὶ τὰ παραλληλόγραμμα τὰ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα. πρὸς ἄλληλά ἐστιν ὡς αἱ βάσεις· ἔστω τρίγωνα μὲν τὰ ΑΒΓ ΑΓΔ. παραλληλόγραμμα δὲ τὰ ΕΓ ΓΖ ὑπὸ τὸ αὐτὸ ὕψος ὄντα τὴν ἀπὸ τοῦ Α ἐπὶ τὴν ΒΔ κάθετον ἀγομένην· λέγω ὅτι ἐστὶν ὡς ἡ ΒΓ βάσις πρὸς πρὸς τὴν ΓΔ βάσιν. οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον. καὶ τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον· ἐκβεβλήσθω γὰρ ἡ ΒΔ ἐφ' ἑκάτερα τὰ μέρη ἐπὶ τὰ Θ Λ σημεῖα· καὶ κείσθωσαν τῇ μὲν ΒΓ βάσει ἴσαι ὁσαιδηποτοῦν αἱ ΒΗ ΗΘ· τῇ δὲ ΓΔ βάσει ἴσαι ὁσαιδηποτοῦν αἱ ΔΚ ΚΛ. καὶ ἐπεζεύχθωσαν αἱ ΑΗ ΑΘ ΑΚ ΑΛ. καὶ ἐπεὶ ἴσαι εἰσὶν αἱ ΓΒ ΒΗ ΗΘ ἀλλήλαις. ἴσα ἐστὶ καὶ τὰ ΑΘΗ ΑΗΒ ΑΒΓ τρίγωνα ἀλλήλοις. ὁσαπλασίων ἄρα ἐστὶν ἡ ΘΓ βάσις τῆς ΒΓ βάσεως. τοσαυταπλασίων ἐστὶ καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΒΓ τριγώνου· διὰ τὰ αὐτὰ δὴ ὁσαπλασίων ἐστὶν ἡ ΛΓ βάσις τῆς ΔΓ βάσεως. τοσαυταπλασίων ἐστὶ καὶ τὸ ΑΛΓ τρίγωνον τοῦ ΑΔΓ τριγώνου· καὶ εἰ ἴση ἐστὶν ἡ ΘΓ βάσις τῇ ΓΛ βάσει. ἴσον ἐστὶ καὶ τὸ ΑΘΓ τρίγωνον τῷ ΑΛΓ τριγώνῳ· καὶ εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΛ βάσεως. ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΓΛ τριγώνου· καὶ εἰ ἐλάττων, ἔλαττον· τεσσάρων δὴ ὄντων μεγεθῶν δύο μὲν βάσεων τῶν ΒΓ ΓΔ. δύο δὲ τριγώνων τῶν ΑΒΓ ΑΓΔ εἴληπται ἰσάκις πολλαπλάσια· τῆς μὲν ΒΓ βάσεως καὶ τοῦ ΑΒΓ τριγώνου. ἥ τε ΘΓ βάσις καὶ τὸ ΑΘΓ τρίγωνον· τῆς δὲ ΓΔ βάσεως καὶ τοῦ ΑΔΓ τριγώνου. ἄλλα ἃ ἔτυχεν ἰσάκις πολλαπλάσια ἥ τε ΛΓ βάσις καὶ τὸ ΑΛΓ τρίγωνον· καὶ δέδεικται ὅτι εἰ ὑπερέχει ἡ ΘΓ βάσις τῆς ΓΛ βάσεως. ὑπερέχει καὶ τὸ ΑΘΓ τρίγωνον τοῦ ΑΛΓ τριγώνου· καὶ εἰ ἴσον. ἴσον· καὶ εἰ ἔλαττον. ἔλαττον· ἔστιν ἄρα ὡς ἡ ΒΓ βάσις πρὸς τὴν ΓΔ βάσιν. οὕτως τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον· καὶ ἐπεὶ τοῦ μὲν ΑΒΓ τριγώνου διπλάσιόν ἐστι τὸ ΕΓ παραλληλόγραμμον· τοῦ δὲ ΑΓΔ τριγώνου διπλάσιόν ἐστι τὸ ΖΓ παραλληλόγραμμον. τὰ δὲ μέρη τοῖς ὡσαύτως πολλαπλασίοις τὸν αὐτὸν ἔχει λόγον. ἔστιν ἄρα ὡς τὸ ΑΒΓ τρίγωνον πρὸς τὸ ΑΓΔ τρίγωνον. οὕτως τὸ ΕΓ παραλληλόγραμμον πρὸς τὸ ΓΖ παραλληλόγραμμον. ἐπεὶ



[illegible]